διηρημένως ἂν ἐφθάρης γράφειν. ὁ δὲ νοῦς οὗτος. κατὰ τί ὦ ποιητὰ δεῦρ' ἀπρεπῶς, καὶ ἀναιδῶς προσῆλθες; ἄκλητος δηλονότι. οὕτω καὶ Πλούταρχος, „ Καὶ βασιλέων γυναῖκες ἁμιλλώμεναι δωρεαῖς πρὸς ἀλλήλας, καὶ κάλλεσιν, ἐφθείροντο πρὸς αὐτόν. καὶ Δημοσθένης κατὰ Μειδίου. „ Ἀλλὰ δεινοί τινές εἰσιν, ὦ ἄνδρες Ἀθηναῖοι, φθείρεσθαι πρὸς τοὺς πλουσίους, καὶ παρεῖναι, καὶ μαρτυρεῖν. καὶ τὸ σύνθετον ἐκφθείρεσθαι, τὸ ἐπὶ κακῷ ἐξέρχεσθαί που, ὡς φασὶ τὰ σχόλια ἐν Εἰρήνῃ,

A Ἐχθὲς δὲ μετὰ ταῦτ' ἐκφθαρεὶς, οὐκ οἶδ' ὅποι.

Σχόλια. Κύκλιά τε πολλά.] τὰ τὴν αὐτὴν ὑπόθεσιν ἔχοντα, ταῦτα κύκλια ἔλεγον. παρθένεια δὲ ἀντὶ τοῦ ἃ αἱ παρθένοι ᾖδον. κύκλια δὲ καλοῦνται μέλη, τὰ ἐπεκτεταμένα. ἔστι δὲ διηγηματικόν. ἄλλως. ἀντὶ τοῦ κατάτεχνα. ποικίλα. οἷον ὕμνους. παιᾶνας. προσῳδίας. καὶ τὰ λοιπὰ τούτοις παραπλήσια. προπερισπωμένως δὲ τὸ ὄνομα, τὰ παρθένεια, ἔστι δὲ τὰ εἰς παρθένους ᾀδόμενα.

B

## ΣΥΣΤΗΜΑ ΣΤΙΧΩΝ δ′.

Πισ. ΤΑυτὶ σύ ποτ' ἐποίησας, ἀπὸ ποίου χρόνου;
Ποι. Πάλαι πάλαι δὴ τήνδ' ἐγὼ κλῄζω πόλιν.
Πισ. Οὐκ ἄρτι θύω τὴν δεκάτην ταύτης ἐγώ;
C Καὶ τοὔνομ' ὥσπερ παιδίῳ νῦν δὴ 'θέμην.

## CONSTITVTIO VERSUUM QUATUOR.

PI. *HÆc tu aliquando fecisti, à quali tempore?*
Pœ. *Diu diu, iam hanc ego laudo ciuitatem.*
PI. *Non nunc sacrifico decimam huius ego?*
*Et nomen tanquam puero nunc iam posui.*

Σχόλια. Ταυτὶ σύ.] ἐντεῦθεν διαιρεῖται τὰ πρόσωπα εἰς συστηματικὰς περιόδους ἀμοιβαίας ή. καὶ ἔστιν ἡ πρώτη περίοδος στίχων ἰαμβικῶν τριμέτρων τεσσάρων. ἡ β στίχων καὶ κώλων ἑπτά. ὧν ὁ πρῶτος χοριαμβικὸς τρίμετρος καταληκτικός. τὸ β ὅμοιον δίμετρον ἀκατάληκτον τὸ δεύτερον ἔχων πόδα πεντασύλλαβον. τὸ γ περίοδος ἐξ ἰαμβικῆς, καὶ τροχαϊκῆς βάσεως. τὸ δ' ἀσυνάρτητον ἐξ ἀναπαιστικῆς καὶ ἰαμβικῆς βάσεως. τὸ ε τροχαϊκὴ βάσις ἐκ χορείων. τὸ ς ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. εἰ δὲ βούλει ἰωνικὸν ἑφθημιμερές. τὸ ζ ἰωνικὸν δίμετρον ἀκατάληκτον, ὑφ' ὃ παράγραφος.

Bisetvs. Κλῄζω] ὑμνῶ, κλέος, τὸ κῦδος, ἡ δόξα. κλείζειν, τὸ ὑμνεῖν. καὶ κατὰ τροπὴν τοῦ ε εἰς η, κλῄζειν. καὶ κατὰ συναίρεσιν ἀττικὴν κλῄζειν. ὅθεν καὶ τὸ ἄνω, Κλῄσον ὦ Μοῦσα.

Σχόλια. Οὐκ ἄρτι θύω.] πρὸς τὸ ἔθος. εἴρηται δὲ πρότερον, ὅτι ἐπὶ ἐνεστῶτος. ἄλλως. σαφὲς ὅτι τὰ ὀνόματα τῶν παίδων ἐτίθεσαν τῇ δεκάτῃ.

Bisetvs. Τίς δ' ἂν εἴη ὁ τούτων νοῦς; Σουΐδας δηλοῖ οὕτω λέγων, „ Ἔθος ἦν παίδων συγγενομένων τοῖς Ἀθηναίων ἀστοῖς, τῇ δεκάτῃ τῆς νυκτὸς ἀπὸ τῆς γενέσεως, συγκαλεῖσθαι τοὺς πρὸς πατρὸς, καὶ μητρὸς οἰκείους, καὶ τοὺς ἐγγύτατα φίλους, καὶ παρόντων ἐκείνων τά τε ὀνόματα τοῖς παισὶ τίθεσθαι, καὶ καλλιερεῖσθαι τοῖς θεοῖς. ἔπειτα εὐωχεῖσθαι τοὺς συνεληλυθότας. καὶ τοῦτο ἦν ἡ δεκάτη.

D

## ΩΔΗ ΚΑΙ ΣΤΡΟΦΗ ΚΩΛΩΝ ζ′.

Ποι. ΑΛλά τις ὠκεῖα μουσάων φάτις,
Οἵαπερ ἵππων ἀμαρυγά.
Σὺ δ' ὦ πάτερ κτίστορ Αἴτνας,
Ζαθέων ἱερῶν ὁμώνυμε,
Δὸς ἐμὶν ὅ,τι περ
Τεᾷ κεφαλῇ θέλῃς
Πρόφρων δόμεν ἐμὶν τεΐν.

## E CANTVS ET VERSIO MEMBRORUM SEPTEM.

Pœ. *SEd aliqua velox Musarum fama,*
*Qualis equorum velocitas.*
*Tu autem ô pater ædificator Ætnæ,*
*Diuinis sacrificiis cognominis,*
*Da mihi quodcunque*
*Tuo capiti vis,*
F *Promptus dare mihi tibi.*

Σχόλια. Ἀλλά τις ὠκεῖα μουσάων.] ἡ τῶν μουσῶν φάτις, ταχεῖά ἐστιν, ὡς ἵππος ὠκεῖα. ἤτοι δὲ καθολικὸν λέγει, ἐπεὶ πτερόεντα τὰ ἔπη καὶ ταχέως διαγγέλλοντα τὰ πράγματα, ἢ πρὸς ἑαυτὸν ταχέως γράφοντα τὰ ποιήματα. Σὺ δ' ὦ πάτερ κτίστορ] ἐκ τῶν Πινδάρου ὑπορχημάτων. ξυνὲς ὅ,τι λέγω ζαθέων ἱερῶν ἐπώνυμε πάτερ κτίστορ Αἴτνας. ἐπειδὴ ὁ Ἱέρων ἔκτισεν αὐτήν. Ἐμὶν τεΐν] χλευάζει τῶν διθυραμβοποιῶν τὸν συνεχῆ τοῖς τοιούτοις δωρισμόν. καὶ μάλιστα τὸν Πίνδαρον συνεχῶς λέγοντα ἐν ταῖς αἰτήσεσι τὸ ἐμίν.

G

## ΣΥΣΤΗΜΑ ΣΤΙΧΩΝ ε′.

Πισ. ΤΟυτὶ παρέξει τὸ κακὸν ἡμῖν πράγματα,
Εἰ μή τι τούτῳ δόντες ἀποφευξόμεθα.

## CONSTITVTIO VERSUUM QUINQUE.

PI. *HÆc præbebit malum nobis negotia,*
*Si non huic dantes fugerimus.*